ρας αὐτὸν ὁρῶν (παρὰ γὰρ τὴν εἴσοδον ἔῤῥιπτο. θέατρον χαλεπὸν ἐλεεινῆς τραγῳδίας ὤν, καὶ τῇ ὄψει μόνον καὶ λιθίνην ἱκανὸς καταμαλάξαι ψυχὴν) καὶ ὅμως οὐδὲ τοῦτο ἐπεσπάσατο τὸν ἀπάνθρωπον ἐκεῖνον εἰς τὴν τῆς πενίας ἐκείνης ἀντίληψιν. ἀλλ᾽ ὁ μὲν συβαριτικὴν παρετίθετο τράπεζαν, καὶ κρατῆρας εἶχεν ἐστεμμένους, καὶ ἄκρατον ἁπλῶς ἐκχεόμενον, καὶ στρατόπεδα μαγείρων λαμπρά, καὶ παρασίτους καὶ κόλακας ἅμα πρωΐ, καὶ χορούς ᾀδόντων, οἰνοχοούντων γελωτοποιούντων, καὶ πᾶν εἶδος ἐπινοῶν ἀσωτίας, καὶ μεθύων καὶ κραιπαλῶν, καὶ στολῇ, καὶ τραπέζῃ, καὶ ἑτέροις πλείοσι τρυφῶν ἅπαντα διετέλει τὸν χρόνον. τοῦτον δὲ λιμῷ χαλεπῷ καὶ ἀῤῥωστίᾳ πικροτάτῃ, καὶ

*debat (iuxta ingressum namque iacebat, spectaculum durum miserabilis tragœdiæ, & qui aspectu solo vel lapideum pectus poterat emollire.) tamen neque hoc hominem illum ad eam paupertatem leuandam permouit: sed ille lautissimam apponebat mensam crateras habebat plenos merum temerè leuiterq; exhauriendum, nitidos coquorum exercitus, parasitos & adulatores prima luce, & choros canentium, vina infundentium, risus mouentium: omne genus helluationis excogitabat, inebriabatur, ingurgitabatur, in luxu vestiũ, mensæ, aliarumq; plurium rerum perpetuò viuebat. Istum verò, quem graui fame; morbo acerbissimo,*